ἔτι ἐπειδήπερ ἐστὶν (ὡς δοκεῖ) μόριόν τι τῆς ψυχῆς ᾧ τρεφόμεθα, ὃ καλοῦμεν θρεπτικόν· τοῦτο γὰρ εὔλογόν ἐστιν εἶναι· τοὺς γοῦν λίθους ὁρῶμεν ἀδυνάτους τρέφεσθαι ὄντας· ὥστε δῆλον ὅτι τῶν ἐμψύχων ἐστὶ τὸ τρέφεσθαι. εἰ δὲ τῶν ἐμψύχων, ἡ ψυχὴ ἂν εἴη αἰτία· τῆς δὲ ψυχῆς. τούτων μὲν τῶν μορίων, οὐθὲν αἴτιον ἂν εἴη τοῦ τρέφεσθαι· οἷον τὸ λογιστικόν, ἢ τὸ θυμικόν, ἢ τὸ ἐπιθυμητικόν· ἄλλο δέ τι παρὰ ταῦτα, ᾧ οὐθὲν ἔχομεν οἰκειότερον ὄνομα ἐπιθεῖναι, ἢ θρεπτικόν. τί οὖν ἄν τις εἴποι, πότερον καὶ τούτου τοῦ μορίου τῆς ψυχῆς ἐστὶν ἀρετή; εἰ γάρ ἐστι, δῆλον ὅτι καὶ ταύτῃ δεήσει ἐνεργεῖν. τῆς γὰρ τελείας ἀρετῆς ἡ ἐνέργεια, εὐδαιμονία. εἰ μὲν οὖν ἐστὶν ἀρετὴ τούτου, ἢ μή ἐστιν, ἄλλος λόγος. εἰ δ' ἄρα ἐστίν, οὐκ ἔστι ταύτης ἐνέργεια. ὧν γὰρ μή ἐστιν ὁρμή, οὐδ' ἐνέργεια τούτων ἔσται. οὐκ ἔοικε δὲ εἶναι ὁρμὴ ἐν τῷ μορίῳ τούτῳ, ἀλλ' ὅμοιον ἔοικεν εἶναι τῷ πυρί. καὶ γὰρ ἐκεῖνο ὅ, τι ἂν ἐμβάλῃς, καταναλώσει· καὶ εἰ μὴ ἐμβάλῃς, οὐκ ἔχει ὁρμὴν πρὸς τὸ λαβεῖν. οὕτω καὶ τοῦτο τὸ μόριον τῆς ψυχῆς ἔχει· ἂν μὲν γὰρ ἐμβάλῃς τροφήν, τρέφει· ἂν δὲ μὴ ἐμβάλῃς τροφάς, οὐκ ἔχει ὁρμὴν τοῦ τρέφειν. διὸ οὐδὲ ἐνέργεια οὗ μηδὲ ὁρμή. ὥστ' οὐδὲν συνεργεῖ τὸ μόριον τοῦτο πρὸς εὐδαιμονίαν. μετὰ ταῦτα τοίνυν λεκτέον ἂν εἴη τίς ἐστιν ἡ ἀρετή· ἐπείπερ ἡ ταύτης ἐνέργειά ἐστιν ἡ εὐδαιμονία. ὡς μὲν οὖν ἁπλῶς εἰπεῖν, ἔστιν ἡ ἀρετὴ ἕξις ἡ βελτίστη. ἀλλ' ἴσως οὐχ ἱκανὸν οὕτως ἁπλῶς εἰπεῖν, ἀλλὰ σαφέστερον διορίσαι δεῖ.

### Κεφάλαιον ε.

Πρῶτον μὲν οὖν λεκτέον ὑπὲρ τῆς ψυχῆς ἐν ᾗ ἐγγίνεται, οὐ τί ἐστιν ἡ ψυχή (ὑπὲρ μὲν γὰρ τούτου ἄλλος λόγος) ἀλλ' ὡς τύπῳ διελέσθαι. ἔστι δ' ἡ ψυχὴ (ὡς φαμὲν) εἰς δύο μέρη διῃρημένη, εἴς τε λόγον ἔχον, καὶ ἄλογον. ἐν μὲν γὰρ δὴ τῷ λόγον ἔχοντι ἐγγίνεται φρόνησις, ἀγχίνοια, σοφία, εὐμάθεια, μνήμη, καὶ τὰ τοιαῦτα· ἐν δὲ τῷ ἀλόγῳ, αὗται αἱ ἀρεταὶ λεγόμεναι, σωφροσύνη, δικαιοσύνη, ἀνδρία, καὶ ὅσαι ἄλλαι τοῦ ἤθους δοκοῦσιν ἐπαινεταὶ εἶναι. κατὰ γὰρ ταύτας ἐπαινετοὶ λεγόμεθα· κατὰ δὲ τὰς τοῦ τὸν λόγον ἔχοντος, οὐδεὶς ἐπαινεῖται. οὔτε γὰρ ὅτι σοφός, οὐδεὶς ἐπαινεῖται, οὔτε ὅτι φρόνιμος, οὐδ' ὅλως κατά τι τῶν τοιούτων οὐθέν. οὐδὲ δὴ τὸ ἄλογον εἶναι, ἢ ὑπηρετικόν ἐστι

A quòd nimirum animæ pars quædam est qua alimur, quam altricem appellamus. Est enim rationi consentaneum ita esse: siquidem lapides ali non posse intuemur: & proinde non dubium, quin sit animalibus proprium ali. Quòd si est animatorum tantùm, causa est anima. Atqui animæ talium partium nulla, alendi fuerit causa, quales sunt rationalis, vel qua irascimur, aut concupiscimus, sed alia quædam præter has: & ei nullum magis peculiare possumus nomen, B quàm θρεπτικῆς, *id est alendi vim habentis*, accommodare. Dicat fortassis quispiam, nunquid huius quoque partis animæ virtus est? Enimuerò si fuerit, non dubium quinetiam eadem agere opus sit. Perfectæ siquidem virtutis actio, felicitas est. At nunquid eius sit, vel non sit virtus, alius fuerit quærendi locus. Sanè si fuerit, eius non est actio. Quæ enim appetitu carent, eorum nulla est actio. Hu- C ius verò partis non videtur esse appetitus, quæ quidem igni similis *videtur*, cui quicquid obieceris, absumet: at si non obieceris, ad capiendum nulla ratione impellitur. Ita hæc se habet pars animæ. Si enim alimentum obiicias, alet: sin minùs, ad alendum nullo modo commouetur, & proinde eius non erit actio, cuius non est appetitus. Itaque hæc pars ad felicitatem capessendam nihil coadiuuat. Deinceps D igitur, quid sit virtus dicendum: quandoquidem eius actio, felicitas est. Vt paucis itaque absoluam, virtus habitus est optimus. Verùm non satis fortè sit, ita simpliciter loqui, sed euidentiùs fuerit definiendum.

### CAPVT X.

PRimùm igitur de anima, in qua virtus exoritur, dicendum est: non, quid sit anima, (alia siquidem eius rei cōsideratio) E sed vt quodammodo distribuatur. Anima nimirum, vt dicere solemus, in duas partes distribuitur, in eam, quæ rationem habet, & quæ rationis expers est. In ea parte, quæ habet rationem, nascitur prudentia, solertia, sapientia, ingenium, memoria, & id genus alia. At in parte rationis expertè hæ quæ virtutes appellantur, temperantia, fortitudo, iustitia, & quæcunque aliæ ad mores pertinentes, laude dignæ censentur: per illas enim laude digni habemur F ipsi. At per eas quæ ad partem rationem habentem pertinent, nemo laudatur: nec enim quòd sapiens, nec quòd prudens, nec prorsus ex huiusmodi aliquo quispiã laudatur. Neque porrò rationis expers quatenus ad se suggerendũ idoneum est,